www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

# ΤΩΝ ΑΓΙΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΑΡΤΥΡΩΝ

## Χρυσάνθου καὶ Δαρείας

(19 Μαρτίου)

* * *

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει

ὑπὸ

Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

www.tezaurliturgic.ro




Μαρτίου ιθ΄

Μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων ἐνδόξων καὶ καλλινίκων

τοῦ Χριστοῦ Μαρτύρων

Χρυσάνθου καὶ Δαρείας

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ἘΝ ΤΩ͂ ΜΙΚΡΩ͂ ἙΣΠΕΡΙΝΩ͂

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τῶν Ἁγίων:

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Χρύσεον ἄνθος ἐδείχθης τῇ Ἐκκλησίᾳ Χριστοῦ, ὀσμὴν ἠθῶν χρυσέων, διαπνέον τῷ κόσμῳ, Χρύσανθε θεόφρον, καὶ ἀρδευθεὶς, τοῖς ἱδρῶσι τῶν ἄθλων σου, ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου Δαβιτικῶς, ἐξανθεῖς χάριν ἀέναον.

Χρυσέοις λόγοις καὶ τρόποις Χρύσανθε ἔνδοξε, ὅλην κεχρυσωμένην, ὡς ἀμώμητον νύμφην, προσήγαγες Κυρίῳ περιφανῶς, τὴν Δαρείαν τὴν πάνσεμνον, μεθ᾿ ἧς συμπράττων αἰσίως, καὶ εὐσεβῶς, ζεῦγος ὤφθητε ἀοίδιμον.

Χρυσοειδεῖς ὡς ἀστέρες ἀειλαμπέστατοι, Χρύσανθε καὶ Δαρεία, καταυγάζετε κόσμον, ἀκτῖσιν εὐσεβείας καὶ τῷ φωτί, τῆς ἐνδόξου ἀθλήσεως, καὶ νοσημάτων τὸ σκότος τὸ χαλεπόν, διαλύετε ἑκάστοτε.

Χρυσοπορφύροις ἐσθῆτας περιβαλλόμενοι, ἐκ τῶν οἰκείων πόνων, ὡς λαμπροὶ Ἀθλοφόροι, πρὸς δόξαν τοῦ Κυρίου τὴν ὑπὲρ νοῦν, νικηφόροι ἀνήλθετε, τῶν Τρισηλίων τρυφῶντες μαρμαρυγῶν, καὶ πρεσβεύοντες σωθῆναι ἡμᾶς.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος α'.

Τοῦ Εὐαγγελίου τόν λόγον, ὡς γῆ καλή δεξάμενος, εἰς ἑκατόν ἐκαρποφόρησας, κατά Χριστόν θεόφρον Χρύσανθε· πίστει γάρ πολιτευσάμενος, ἀρίστων ἔργων τῇ σεμνότητι, πρός θεογνωσίας φωτισμόν, τήν φιλόσοφον Δαρείαν εἵλκυσας· ἥν καί σύμβουλον πλουτήσας ἀγαθήν, σύναθλον ἔσχηκας, πρός ἀγῶνας ἀθλήσεως. Καί νῦν σύν αὐτῇ δυσώπει, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τάς δεήσεις ...

ΑΠΟΣΤΙΧΑ

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἴθυνας ἐμμελῶς, τῇ θείᾳ εὐδοκίᾳ, ψυχῆς σου τάς κινήσεις, καί κοινωνός ἐδείχθης, Κυρίου Μάρτυς Χρύσανθε.

Στιχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Λόγῳ ζωοποιῷ, Δαρείαν τήν παρθένον, πρός ἔρωτα τόν θεῖον, ἐρρύθμισας πανσόφως, Χρύσανθε παμμακάριστε.

Στιχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Σύμφρονες ἐν παντί, καί σύμπονοι φανέντες, ἐγ εὐαγέσι πόνοις, Χρύσανθε καί Δαρεία, λαμπρῶς συνεδοξάσθητε.

Δόξα. Τριαδικόν.

Σύνθρονε Παντουργέ, Πάτερ, Υἱέ καί Πνεῦμα, ὁμόδοξε Θεότης, ἐλέησον τόν κόσμον, πρεσβείαις τῶν Μαρτύρων σου.

Καί νῦν. Θεοτοκίον.

Ὄπισθεν τῆς Ἁγνῆς, καί Θεοτόκου Κόρης, παρθένος ἡ Δαρεία, σεμνῶς ἀκολουθοῦσα, θεουργικῶς δεδόξασται.

Νῦν ἀπολύεις, το Τρισάγιον, τό Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καί ἀπόλυσις.

www.tezaurliturgic.ro

# Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ

Μετά τόν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ.
Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄
καί ψάλλομεν τὰ ἑξῆς Προσόμοια:

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς χρυσήλατον σκήνωμα, τῆς τοῦ Πνεύματος χάριτος, Ἀθλοφόρε Χρύσανθε εὐφημοῦμέν σε· σύ γάρ τήν γνῶσιν τῆς πίστεως, ἐνθέως δεξάμενος, εὐσεβείας τοῖς θεσμοῖς, καὶ ἀθλήσεως σκάμμασιν, ἐνδιέπρεψας· διὰ τοῦτο τῆς ἄνω βασιλείας, κληρονόμος ἀνεδείχθης, καὶ πρεσβευτὴς τῶν ψυχῶν ἡμῶν.

Τοῦ πατρός τὴν δυσσέβειαν, εὐσεβῶς βδελυξάμενος, τοῦ Χριστοῦ προσέδραμες τῇ χρηστότητι, καὶ λαμπρυνθείς τὴν διάνοιαν, παθῶν τοῦ Δεσπότου σου, ἀνεδείχθης κοινωνός, καὶ τῆς δόξης συμμέτοχος, Μάρτυς Χρύσανθε, ὡς ἀθλήσας νομίμως καὶ τοῦ σκότους, τὸν προστάτην θριαμβεύσας, τοῖς ἱεροῖς σου παλαίσμασι.

Τήν εἱρκτήν ὥσπερ θάλαμον, φωτεινότατον ᾤκησας, θεϊκαῖς ἐλλάμψεσι φαιδρυνόμενος, καὶ θείῳ πόθῳ τρεφόμενος, τοῦ ἄρτου τὴν στέρρησιν, οὐκ ᾐσθάνου ἀληθῶς, καὶ τῷ Λόγῳ μεμνήστευσαι, ὡς πανάμωμον, καὶ θεόφρονα νύμφην καί ἁγίαν, τὴν σεμνότροπον Δαρείαν, μεθ᾿ ἧς λαμπρῶς ἠνδραγάθησας.

Καί τά τοῦ Μηναίου τρία Προσόμοια.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. β΄.

Δυάς Μαρτύρων εὐκλεῶν, δίκην ἀστέρων σελασφόρων, τῇ οἰκουμένῃ ἐξέλαμψαν, τήν Ἐκκλησίαν νοητῶς καταπυρσεύοντες. Δεῦτε οὖν, φιλομαρτύρων οἱ χοροί, πνευματικῶς πανηγυρίσωμεν, ἐν ἀγαλλιάσει ψυχῆς βοῶντες· χαίροις ὁ υἱοθετηθείς τῷ Πατρί τῶν φώτων, καί τῆς δωρεᾶς τὸ μέγεθος, ἐν γενικοῖς ἀγῶσι, δοξάσας Χρύσανθε· χαίροις ἁγνείας ἀλάβαστρον, Δαρεία θεόσοφε, ἡ τόν ἀθάνατον νυμφίον Κύριον, ἁπάντων προκρίνασα· χαίροις συζυγία περίδοξε, οἱ τοῦ Χριστοῦ τόν ζυγόν, ἀράμενοι, καί ἀθλητικῶς αὐτῷ συναφθέντες. Ἀλλ' ὦ Ἀθληταί ἀήττητοι, τῆς ἀϊδίου κατατρυφῶντες δόξης, μή παύσησθε πρεσβεύειν, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Ὁ αὐτός.

Τίς μή μακαρίσει σε Παναγία Παρθένε ...

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας,
καί τὰ Ἀναγνώσματα τοῦ Ἁγίου Γεωργίου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. Ἦχος α΄.

Τῆς τοῦ Πνεύματος βουλῆς, τήν ἀποκάλυψιν μυηθείς, ἐπαξίως διέπρεψας, Ἀθλοφόρε Χρύσανθε· καταυγασθείς γάρ θείᾳ χάριτι, τῆς ἐν Χριστῷ δικαιοσύνης, ἐραστής ἐχρημάτισας, ἀληθῶς πανεύφημε· ὅθεν πάντων τῶν τερπνῶν ἀφειδήσας, πρός τὸ στάδιον τῆς ἀθλήσεως, προθύμως ἔδραμες· καί τῶν ἐναντίων νικήσας τὰς τάξεις, καί τοῦ Σωτῆρος τρανώσας τήν δόξαν, τόν ἀμαράντινον στέφανον, παρά θεοῦ ἐδέξω. Ὃν ἀπαύστως ἱκέτευε, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro

Ὁ αὐτός.

Πατρικὴν λιπὼν ἀσέβειαν, τῆς θεογνωσίας τὴν ἀλήθειαν, εἰσεποιήσω μακάριε· σὺ γὰρ Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν ἐξάγοντα φῶς ἐκ σκότους, ὡς ὑπερούσιον Ἥλιον, ἐν τῇ ψυχῇ ἐδέξω· καὶ διὰ μαρτυρικῶν καμάτων, σύμμορφος αὐτῷ γενόμενος, τῆς οὐρανίου ἀγαλλιάσεως, ἠξιώθης, Χρύσανθε πολύαθλε.

Ὁ αὐτός.

Τὴν τῆς ψυχῆς σου στερρότητα, καὶ ἀνένδοτον πρὸς Χριστὸν ῥοπήν, τὶς κατ᾽ἀξίαν αἰνέσεται, Χρύσανθε τρισμάκαρ; σὲ γὰρ τῆς κρείττονος στάσεως, οὐδόλως περιτρέψαι ἴσχυσαν, οὐ βασάνων ἀπειλαί, οὐ νεότητος ὥρα, οὔτε σεμνῆς παρθένου τὸ φίλτρον· ἀλλ᾽ἐπὶ Κύριον πεποιθώς, πάντων περιεγένου, καὶ τὴν ὑπελθοῦσάν σε Δαρείαν, τῷ ἀχράντῳ νυμφίῳ ἐνυμφαγώγησας. Ἀλλ᾽ ὦ συζυγία ἀξιύμνητε, οἱ τῆς Ἁγίας Τριάδος θεραπευταί, μὴ παύσησθε σὺν Μαρτύρων δήμοις, τὰς ἱκετηρίους ὑπὲρ ἡμῶν ἐντεύξεις, ἀεὶ ἀναφέροντες.

Ἦχος β΄.

Τὴν τῶν Μαρτύρων σύμφυτον δυάδα, Χρύσανθον καὶ Δαρείαν ὁμοῦ, μαρτυρικοῖς ἐπαίνοις αἰνέσωμεν· πνεύματι γὰρ συνεζευγμένοι ἢ σώμασι, μίαν γνώμην ἐπεδείξαντο, ἐν τοῖς τῆς εὐσεβείας ἀγῶσι· πρὸς τὸ βραβεῖον γὰρ τῆς ἄνω κλήσεως, ἐν ὁμοφωνίᾳ ἀφορῶντες, τὸν καλέσαντα Κύριον, μιᾷ ψυχῇ ἐδόξασαν· διὸ καὶ τὸν στέφανον, τῆς θείας δόξης ἐκομίσαντο.

Δόξα. Ἦχος δ΄.

Ὁμοφροσύνῃ σύνδούμενοι, ἐν ἀπτοήτῳ φρονήματι, τῷ τῆς ἀδικίας κριτῇ, Χρύσανθε καὶ Δαρεία παρέστητε· καὶ τὴν μὲν

www.tezaurliturgic.ro

πλάνην πᾶσαν κατεκρίνατε, τήν δέ καλήν ὁμολογίαν, περιφανῶς ἐτρανώσατε· ὅθεν ὁρῶν ὁ δικάζων, τήν ἐπανθοῦσαν ἐν ὑμῖν ἐνέργειαν, προσελθών τῷ Σωτῆρι, ἐν ἐκπλήξει ἐβόα. Μέγας εἶ Κύριε, καί μεγάλη ἡ ἰσχύς σου! ὅτι τοῖς ἁγίοις σου Μάρτυσι, θαυμαστά ἐργάζῃ καί παράδοξα, πρός σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρά Προσόμοια:

Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Ἄνθος χρυσοειδές καί τερπνόν, τῇ γεωργίᾳ ἀνεδείχθης τοῦ κρείττονος, εὐφραίνων ταῖς ἠδυπνόοις, τῶν σῶν χαρίτων ὀσμαῖς, τό τῆς Ἐκκλησίας ἅπαν πρόσωπον· Χριστοῦ εὐωδία γάρ, κατά Παῦλον γενόμενος, ὡς πανευῶδες, προσηνέχθης θυμίαμα, δι᾿ἀθλήσεως, τῷ λαμπρῶς σέ δοξάσαντι, Χρύσανθε παναοίδιμε, τό χρύσεον ὄργανον, τῆς τοῦ Χριστοῦ θείας δόξης, καί στρατιώτης ἀήττητος. Αὐτόν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τό μέγα ἔλεος.

Στιχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Νύμφη τοῦ βασιλέως Χριστοῦ, ὡραϊσμένη παρθενίας τοῖς κάλλεσι, καί δόξῃ τοῦ μαρτυρίου, πεποικιλμένη σεμνῶς, ἔνδοξε Δαρεία ἀναδέδειξαι· σαρκός γάρ τούς ἔρωτας, ὁλοτρόπως μισή-

www.tezaurliturgic.ro

σασα, ἀνεπτερώθης, τῇ ἀχράντῳ τερπνότητι, τοῦ ἐκλάμψαντος, ἐκ Παρθένου νεάνιδος· ὅθεν καί ἀριστεύσασα, τόν δόλιον ᾔσχυνας, καί εἰς ὀσμήν τοῦ νυμφίου, λαμπαδηφόρος ἀνέδραμες, ὑμνοῦσα ἀπαύστως, τήν αὐτοῦ φιλανθρωπίαν, καί ἀγαθότητα.

Στιχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Χαίροις ἡ ἱερά ξυνωρίς, καί συζυγία ἀληθῶς θεοπόθητος· οἱ πίστει συνδεδεμένοι καί συμφωνίᾳ ψυχῆς, καί ἀρίστων ἔργων τελειότητι, θεόληπτε Χρύσανθε, τοῦ Χριστοῦ σκεῦος εὔχρηστον, σεμνή Δαρεία, τῆς ἁγνείας κειμήλιον, καί ἀγλάϊσμα, γυναικῶν τό ἐξαίρετον. Μάρτυρες ἀεισέβαστοι, τῇ γνώμῃ ἰσόρροποι, ἰσοσθενεῖς τῇ ἀθλήσει, καί ἐν τῇ δόξῃ ἰσότιμοι, Χριστόν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τό μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Χρυσέοις λόγοις σου, πρός ἀληθείας τήν ἀκρότητα, Δαρείαν τήν παρθένον, ἐμυσταγώγησας Χρύσανθε· ὅθεν τά ὅσια σύν σοί φρονοῦσα, συνεργός σοι ἐγένετο, πρός τελειοτέραν ἀνάβασιν. Διό ἄμφω τόν κάλλιστον, ἀνύοντες ἆθλον, τήν Ἀποστολικήν φωνήν ἐκράζετε. Τίς ἡμᾶς χωρίσει, τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἤ διωγμός ἤ λιμός ἤ θάνατος; ἐν πᾶσι γάρ ὑπερνικῶμεν, ἐν τῷ νικήσαντι τόν κόσμον Κυρίῳ, τῷ παρέχοντι πᾶσι, τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι ...

Νῦν ἀπολύεις, τό Τρισάγιον

καί τό Ἀπολυτίκιον:

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τήν σύμπνουν ξυνωρίδα τῶν Μαρτύρων τιμήσωμεν, Χρύσανθον

www.tezaurliturgic.ro

άγνείας τό ἄνθος, καί Δαρείαν τήν πάνσεμνον˙ τῇ πίστει ἑνωθέντες γάρ σεπτῶς, ἐδείχθησαν τοῦ Λόγου κοινωνοί, ἐναθλήσαντες νομίμως ὑπέρ αὐτοῦ, καί σκέπουσι τούς κράζοντας˙ δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι᾽ὑμῶν, πᾶσιν ἰάματα.

Ἕτερον. Δόξα. Ἦχος γ΄. θείας πίστεως.

θείας πίστεως, τῇ ἐπιγνώσει, πᾶσαν ἔλιπες, πατρώαν πλάνην, καί Χριστῷ κατηκολούθησας Χρύσανθε, ᾧ καί προσάγεις Δαρείαν τήν πάνσεμνον, καί σύν αὐτῇ τόν ἀγῶνα ἐτέλεσας. Μεθ᾽ἧς πρέσβευε, δοθῆναι τοῖς σέ γεραίρουσι, πταισμάτων ἱλασμόν καί μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον.

Σέ τήν μεσιτεύσασαν ...

Ἀπόλυσις.



www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄Στιχολογίαν, Κάθισμα:

Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.

Τό βάπτισμα σοφέ, τό σεπτόν δεδεγμένος, υἱός ὤφθης φωτός, καί Χριστοῦ κληρονόμος, καί ἤνυσας στερρότατα, μαρτυρίου τά σκάμματα· ὅθεν Χρύσανθε, τούς εὐαγεῖς σου ἀγῶνας, μακαρίζομεν, ἐπιτελοῦντες προφρόνως, τήν ἔνδοξον μνήμην σου.

Θεοτοκίον.

Δαρείαν τήν σεμνήν, καί καλλίπαιδα κόρην ἐλάμπρυνεν Ἁγνή, οὐρανίαις ἀκτῖσι, ὁ λάμψας ὑπέρ ἔννοιαν, ἐξ ἀχράντων αἱμάτων σου· ὅθεν ἔδραμε, τοῖς ἴχνεσί σου ὀπίσω, καί ἐνήλασεν, εἰς τόν νυμφῶνα τῆς δόξης, ὑμνοῦσά σε Δέσποινα.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα:

Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Πατρός ὑπήνεγκας, τάς ἀπειλάς καρτερῶς, Πατρί γάρ ἠτένιζες, τῷ οὐρανίῳ στερρῶς, πανένδοξε Χρύσανθε· ἄσιτος, ἐν φρουρᾷ γάρ, ἐρριμμένος ὑπάρχων, ἔσχηκας τρέφουσάν σε, τήν ζωήρρυτον χάριν· διό καί κατετόλμησας, ποικίλων κολάσεων.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Παρθένον ἀκήρατον, σέ καί Μητέρα Θεοῦ, Δαρεία ὡς ἔγνωκεν, ἡ εὐκλεής καί σοφή, Παρθένε Πανάχραντε, ἄγαλμα τῆς ἁγνείας, ἀληθῶς ἀνεδείχθη, ἤθλησε δέ νομίμως, τοῦ Υἱοῦ σου τῷ φίλτρῳ. Καί νῦν μεγαλύνει τήν σήν μεγαλειότητα.

Μετά τόν Πολυέλεον. Κάθισμα:

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη τήν ὑμῶν, ἀκαταγώνιστον ἰσχύν, δικαστής ὁ τιμωρῶν, ὑμᾶς γενναῖοι Ἀθληταί, ἀλλοιωθείς δέ τῇ χάριτι ἀνεβόα· εἷς ἐστί Θεός, Χριστός ὁ Κύριος, ἅμα σύν Πατρί, καί θείῳ Πνεύματι, καί πανοικεί ἐναθλήσας δεδόξασται, μαρτυρικῷ διαδήματι, Χρύσανθε μάκαρ, σύν τῇ Δαρείᾳ· διό ὑμᾶς εὐφημοῦμεν.

Θεοτοκίον.

Θεοχώρητος ναός, κεχρυσωμένη κιβωτός, φωτοστόλιστος νυμφών, καί θρόνος ὤφθης ὑψηλός, Εὐλογημένη Μαρία Ἀειπάρθενε· σύ γάρ τόν Θεόν, σάρκα γενόμενον, τέτοκας φρικτῶς, ἐκ τῶν αἱμάτων σου, καί τῶν βροτῶν ἱλαστήριον ἔμψυχον, ὡς ἀληθῶς ἐχρημάτισας, φέρουσα Κόρη, ἐν ταῖς χερσί σου, τόν Βασιλέα τῆς δόξης.

Τό α΄ἀντίφωνον τοῦ δ΄Ἦχου

καί τό Προκείμενον.

Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Εὐαγγέλιον κατά Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ἰδού, ἐγώ ἀπο-

www.tezaurliturgic.ro

στέλλω ὑμᾶς ...

(Ζήτει τῇ Τετάρτῃ τῆς γ΄ ἑβδομάδος τοῦ Ματθαίου).

Ὁ Ν΄. Δόξα. Ταῖς τῶν Ἀθλοφόρων ...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου ...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στιχ. Ἐλέησόν με ὁ Θεός ...

Τῷ τοῦ Χριστοῦ φωτί προσδραμών, Χρύσανθε, τά τῆς ψυχῆς σου ὄμματα, κατηυγάσθης τρισμάκαρ· ὅθεν ἀξιωμάτων γεηρῶν ἀποθέμενος τόν ὄγκον, καί φιληδονίας τήν νύκτα φυγών, τῷ τῆς δικαιοσύνης Ἡλίῳ προσήγαγες, τήν προσγεγονυῖάν σοι Δαρείαν· μεθ᾽ ἧς καλῶς ἀγωνισάμενος, τόν παλαμναῖον ἐκτείνατε ὄφιν, καί πρός ἀΐδιον παστάδα ἤρθητε, ὑπέρ ἡμῶν ἀεί πρεσβεύοντες.

Εἶτα οἱ κανόνες,

τῆς Θεοτόκου,

τῶν Ἁγίων ἐκ τοῦ Μηναίου

καί ὁ ἑξῆς, φέρων τήν δε ἀκροστιχίδα:

«Χρύσανθον ὑμνῶ καί Δαρείαν συμφώνως. Γερασίμου»

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Χριστοῦ ὁρῶντες κάλλος τό ἀμήχανον, καί τῆς αὐτοῦ ἀστραπῆς, τάς φωτοφανείας, εὐκλεῶς δεχόμενοι, Χρύσανθε μεγαλώνυμε, καί Δαρεία θεόφρον, αἴγλην σοφίας μοι νείματε, μέλλοντι ὑμῶν τήν πανήγυριν.

Ρήσεων θείων τῆς ἀμώμου πίστεως, οἷά περ γῆ ἀγαθή, ἐν σῇ καρδίᾳ, σπόρον τόν οὐράνιον, θεοπρεπῶς δεξάμενος, εὐσεβείας τόν στάχυν, ἀθλητικῶς ἐγεώργησας, πλάνην πατρικήν βδελυξάμενος.

Ὕδατος ζῶντος δαψιλῶς ἐτρύφησας, ἀγαλλομένῃ ψυχῇ, θεο-

www.tezaurliturgic.ro

γενεσίας καθαρθείς τοῖς νάμασι, καί γνῶσιν τήν σωτήριον, ἐκ χειλέων ἁγίων, κατηχηθείς ἠκολούθησας, Χρύσανθε Χριστῷ τῷ καλέσαντι.

Σώματος κάλλει καί σοφίας χάριτι, κεκοσμημένη φαιδρῶς, ἔνδοξε Δαρεία, τῷ Χριστῷ προσέδραμες, σαρκός λιποῦσα ἔρωτα, καί τά ἔξωθεν κάλλη, γνώμῃ σοφῇ καταλείψασα, λόγῳ ἀληθείας θεόληπτε.

Ἀγάπῃ θείᾳ καί ψυχῇ θεόφρονι, συνδεδεμένοι σεμνῶς, ξυνωρίς τιμία, ζεῦγος θεοδόξαστον, Χρύσανθε ἀξιάγαστε, καί Δαρεία θεόφρον, ὡς ἀληθῶς καθωράθητε, πίστει καί ἁγνείᾳ ἐκλάμποντες.

### Θεοτοκίον

Νόμου τεκοῦσα δίχα νόμων φύσεως, τόν πληρωτήν Ἰησοῦν, πλήρωμα ἐδείχθης, καί ταμεῖον ἄσυλον, τῶν δωρεῶν τοῦ Πνεύματος, Παντευλόγητε Κόρη· ὅθεν ὀπίσω τῆς δόξης σου, ἔδραμε Δαρεία ἡ πάνσεμνος.

### Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Θεορρήμονος γλώσσης, τά τῆς ζωῆς ρήματα, οἷά περ ζωήρρυτον δρόσον, πιστῶς δεξάμενος, τό πῦρ κατέσβεσας, τῆς πολυθέου ἀπάτης, καί Χριστῷ προσήγαγες, καρπόν εὐπρόσδεκτον.

Ὁ περίδοξος Μάρτυς, καί ἀθλητής ἔνθεος, Χρύσανθος τό χρύσεον ἄνθος, τῆς θείας χάριτος, ἀνευφημείσθω μοι· τῆς πατρικῆς γάρ ἀγάπης, τοῦ Χριστοῦ τόν θάνατον, πλέον ἠγάπησε.

Νυμφοστόλος ἐδείχθης, θεοειδής ἄριστος, καί τῷ ἀθανάτῳ νυμφίῳ, ἐνυμφαγώγησας, Χρύσανθε ἔνδοξε, ὡς καλλιπάρθενον κόρην, Δαρείαν τήν πάνσεμνον, μεθ᾿ ἧς τιμῶμέν σε.

www.tezaurliturgic.ro

῾Υπερόπται ἐρώτων, χαμαιπετῶν ὤφθητε, ὥσπερ ἐρασταί τῆς ἀγάπης, τοῦ Παντοκράτορος, θεόφρον Χρύσανθε, καί ἀθληφόρε Δαρεία, ἄμφω γυμναζόμενοι, πρός τήν εὐσέβειαν.

Θεοτοκίον

Μυροθήκη εὐώδης, θεοτευχής ἔγχρυσος, ἔνδον ὡς ἀκένωτον μύρον, Παρθένε φέρουσα, Λόγον τόν ἄναρχον, ὡς ἀληθῶς ἀνεδείχθης, τήν Δαρείαν ἕλκουσα, ὀσμῇ τῶν μύρων σου.

## Κάθισμα ἐκ τοῦ Μηναίου

### ᾿Ωδή δ΄. Σύ μου ἰσχύς.

Νεανικήν, ὥραν καί κάλλος εὐμάραντον, καί πατρῷον, κλῆρον καί ἀξίωμα, ὑπεριδών Χρύσανθε σοφῶς, τῆς υἱοθεσίας, τῆς οὐρανίου ἠξίωσαι, καί κλῆρον ἀφθαρσίας, καί ἀξίωμα μέγα, διά πόνων ἀθλήσεως εὕρηκας.

῾Ως ἀρραγής, καί εὐσταθής τῷ φρονήματι, τῆς μανίας τοῦ πατρός ἠλόγησας, καί τόν θυμόν τούτου παριδών, χαίρων ἀνεδέξω, τό τοῦ Σωτῆρος μαρτύριον· ποινῶν κατατολμῶν γάρ, γηθοσύνως ἐβόας· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Καταφανές, ἔργον προνοίας τῆς ἄνωθεν, τῆς ψυχῆς σου, Μάρτυς ἡ ἀλλοίωσις! βουλευσαμένη γάρ τόν χρυσοῦν, Χρύσανθον ζωγρῆσαι, ὑπ᾿αὐτοῦ πίστει ἐζώγρησαι, Δαρεία θεοφόρε, καί τῷ ὄντως νυμφίῳ, ἀνενδότῳ φρενί ἠκολούθησας.

᾿Αθλητικῶς, τόν δυσμενῆ τροπωσάμενοι, καί τυράννων, φρένας καταπλήξαντες, ὑπομονῇ πόνων εὐαγῶν, Χρύσανθε παμμάκαρ, Δαρεία τε θεοτίμητε, πρός ἄπονον παστάδα, καί ὑπέρτιμον δόξαν, ἐπινίκιον ᾄδοντες ἤρθητε.

www.tezaurliturgic.ro

Θεοτοκίον

Ἱερόν σύ, καύχημα τῶν πιστῶν ἐγένου Πανάμωμε, Σύ καί καταφύγιον, Χριστιανῶν, τεῖχος καί λιμήν· πρός γάρ τόν Υἱόν σου, προθύμως ἐντεύξεις προσάγεις, καί σώζεις ἐκ κινδύνων, τούς ἐν πίστει καί πόθῳ, Θεοτόκον Ἁγνήν Σέ γινώσκοντες.

**Ὠδή ε΄. Ἵνα τί με ἀπώσω:**

Δυνατός ἐν ἰσχύϊ, λόγων καί δυνάμεων καί θείων πράξεων, Χρύσανθε ἐδείχθης, τῇ δυνάμει τοῦ σέ καταυγάσαντος· ὅθεν παρρησίᾳ, Χριστοῦ τήν σάρκωσιν κηρύττεις, ἀσεβῶν τάς βουλάς μή πτοούμενος.

Ἀφεγγῆ καί ζοφώδη, φυλακήν κατῴκησας ὡς φύλαξ ἔνθεος, πίστεως τῆς θείας, πατρικῇ ἰταμότητι Χρύσανθε· ἔνθα σύν Ἀγγέλλοις, ὑμνολογῶν τόν Ἀθλοθέτην, νοητῆς ἐπληρώθης ἐλλάμψεως.

Ῥήμασί σου ἐνθέοις, πειθαρχοῦσα Χρύσανθε ἡ ὑπελθοῦσά σε, εὐκλεής παρθένος, τῆς ἁγνείας τό χρῆμα διέσωσεν· ἔνθεν συζυγία, παρθενική ἠγλαϊσμένη, καί Θεῷ ποθεινή καθωράθητε.

Ἐνταλμάτων ἁγίων, καί τῶν ἱερῶν προσταγμάτων ἀρχέτυπα, Χρύσανθε θεόφρον, καί Δαρεία σεμνή ἀνεδείχθητε, τοῖς προσδεξαμένοις, ὑμῶν τῆς χάριτος τόν λόγον, καί δεινήν ἀλογίαν μισήσασι.

Θεοτοκίον.

Ἱλασμόν καί εἰρήνην, καί υἱοθεσίαν τήν ἄνω ἐβράβευσε, Κεχαριτωμένη, ὁ τεχθείς ἐξ ἀχράντων αἱμάτων σου· οὗ τῷ θείῳ κάλλει, λαμπρᾷ ἐννοίᾳ ἀφορῶσα, ἡ Δαρεία ἡ Μάρτυς ἠρίστευσε.

**Ὠδή στ΄. Ἱλάσθητί μοι Σωτήρ.**

Ἀπόσιτος ἐν φρουρᾷ, διατελῶν μάκαρ Χρύσανθε, ἡμέρας

www.tezaurliturgic.ro

ἐπί πολλάς, τήν χάριν τήν ἄνωθεν, ἔσχες συναρήγουσαν, καί ἐκτρέφουσάν σε, ὡς τῶν θείων παθῶν μάρτυρα.

Νεᾶνιν τήν εὐπρεπῆ, Δαρείαν τήν καλλιπάρθενον, λαμπρύνας τῷ φωτισμῷ, τῆς πίστεως Χρύσανθε, ταύτην ἰσογνώμονα, εὗρες συνεργάτιν, καί ἐν ἄθλοις ἰσοστάσιον.

Σθενούμενοι ἀληθῶς, τοῖς ζωηφόροις παθήμασιν, ὁ Χρύσανθος ὁ κλεινός, Δαρεία ἡ πάντιμος, ἐχθροῦ ἐξενεύρισαν, πᾶσαν δυναστείαν, καί νομίμως ἠνδραγάθησαν.

Θεοτοκίον.

Ὑμνοῦσα τόν ἐκ τῆς σῆς, νηδύος ἐξανατείλαντα, Δαρεία ἡ εὐκλεής, Παρθένε Πανάμωμε, αὐτῷ προσενήνεκται, ὡς ἄμωμος νύμφη, καταισχύνασα τόν δράκοντα.

Κοντάκιον. Ἦχος α΄. Χορός Ἀγγελικός.

Ὡς ἄνθος χρυσαυγές, τήν ὀσμήν εὐσεβείας, ἐμπνεύσας δαψιλῶς, Χρύσανθε Ἀθλοφόρε, πρός γνῶσιν σωτήριον, τήν Δαρείαν ἐφείλκυσας, μεθ᾽ ἧς ἤθλησας, καί τόν ἀρχέκακον ὄφιν, τροπωσάμενοι, πρός ἀκηράτους παστάδας, ἀξίως ἐπήρθητε.

Ὁ Οἶκος.

Ἐξ ἀκανθώδους ῥίζης καί πικρᾶς, βλαστός δικαιοσύνης, γλυκύκαρπος μάλα καί τερπνός, ἐβλάστησας παμμάκαρ, θεογνωσίας τούς καρπούς, πλουσίως ἀποφέρων· σύ γάρ τήν τοῦ πατρός ἀσέβειαν μισήσας, τό τῆς εὐσεβείας μυστήριον ἐμυήθης, καί χερσίν ἁγίου ἀνδρός, υἱοθετήθης τῷ Θεῷ, τῇ παλιγγενεσίᾳ· ὅθεν ἐν ἀγῶσι τοῖς σεπτοῖς συνόμιλον καί κοινωνόν, Δαρείαν ἔσχες τήν σεμνήν, ἀποβαλοῦσαν τῇ σῇ χάριτι, ἅπασαν πλάνης

www.tezaurliturgic.ro

ματαιότητα· καί ἄμφω ἀγωνισάμενοι καλῶς, πρός ἀκηράτους παστάδας, ἀξίως ἐπήρθητε.

Τό Συναξάριον ἐκ τοῦ Μηναίου.

Ὠδή ζ΄. Θεοῦ συγκατάβασιν.

Μαρτύρων ὁμήγυριν, ἠγωνισμένων ὑπέρ τῆς δόξης Χριστοῦ, συνεκρότησας μάκαρ, τοῖς θαυμασίοις τῆς σῆς ἀθλήσεως, μεθ᾽ὧν συγχαίρων βοᾷς τῷ Παντάνακτι· εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Φωτί τῷ τῶν ἔργων σου, τῆς ἀσεβείας, τόν ζόφον ἔλιπε, καί υἱός φωτός ὤφθη, ὁ τιμωρῶν σε Κλαύδιος Χρύσανθε, καί πανοικεί ἐναθλήσας δεδόξασται, σύν Ἀθληταῖς ἐκβοῶν· εὐλογητός εἶ Χριστέ.

Ὡράθης ξεόμενος, καί ταῖς λαμπάσι καταφλεγόμενος, ὥσπερ πάσχοντος ἄλλου, ἀκαταπλήκτῳ καρδίᾳ Χρύσανθε, καί καταπλήξας τούς ἄφρονας ἔψαλλες· εὐλογητός ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Νυμφίον τόν ἄχραντον, ἐπιποθοῦσα καθαρωτάτῃ ψυχῇ, δι᾽αὐτόν καθυπέστης, δεινῶν βασάνων πεῖραν πολύπονον, Παρθενομάρτυς Δαρεία κραυγάζουσα· εὐλογητός εἶ Χριστέ, ὁ τῶν Πατέρων Θεός.

Θεοτοκίον.

Ὡς ἔμψυχος θάλαμος, καί φωτοφόρος ναός ὑπέρτιμος, ἐν γαστρί σου βαστάζεις, τόν Ὑπερούσιον Λόγον Ἄχραντε, τήν τῶν ἀνθρώπων οὐσίαν καινίζοντα, καί λύοντα τῆς ἀρᾶς, τῆς ἀρχεγόνου ἡμᾶς.

www.tezaurliturgic.ro

## ᾨδή η΄. Ἑπταπλασίως κάμινον.

Σωματικαῖς κακώσεσι, καί ποικίλαις καλάσεσιν, ἀκαταγωνίστως ὁμιλήσας Χρύσανθε, Χριστόν ἐμεγάλυνας, ἐν τοῖς οἰκείοις μέλεσι, τόν Δημιουργόν, καί Λυτρωτήν ἀνακράζων· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε, εἰς πάντας τούς αἰῶνας.

Γένους τήν περιφάνειαν, ὡς οὐδέν λογισάμενος, τόν ὀνειδισμόν τόν τοῦ Σωτῆρος ἔφερες, ὡς δόξαν ὑπέρτιμον, καί τό αὐτοῦ μαρτύριον, μή ἐπαισχυνθείς, ἐν τῇ ἀθλήσει ἐβόας· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε, Χριστόν εἰς τούς αἰῶνας.

Εἰς τήν ὀσμήν τῶν μύρων σου, καί τῆς δόξης σου Δέσποτα, ἐν ἀγαλλιάσει ἡ Δαρεία ἔδραμε, τῶν κάτω τήν εὔκλειαν, λιποῦσα ὡς ἐπίκηρον, καί ἀθλητικῶς, σοί προσαχθεῖσα κραυγάζει· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε, εἰς πάντας τούς αἰῶνας.

Ρύποις μή ἀνασχόμενοι, τήν ὑμῶν καθαρότητα, καί παρθενικήν χρανθῆναι κοσμιότητα, ἠθῶν τήν ἁγνότητα, καί βίον τόν ἀκήρατον, στέργετε ὁμοῦ, σύν τῷ Χρυσάνθῳ Δαρεία, καί ἄμφω ἠθληκότες, ἐν ταῖς ἄνω παστάσι, χορεύετε ἐνδόξως, Χριστόν ὑπερυψοῦντες.

### Θεοτοκίον.

Ἀπό αἰῶνος ἄχραντος, καί ἁγνή καί πανάμωμος, καί ἐκλελεγμένη πέφυνας τῷ Κτίστῃ σου, Παρθένε Πανάχραντε, τῶν Προφητῶν τό κήρυγμα, ὅθεν ἐκ γαστρός σου, σαρκωθείς, ἀνα-

www.tezaurliturgic.ro

πλάττει, Ἀδάμ τόν πεπτωκότα, καί θεοῖ κατά χάριν, θεοκυῆτορ Κόρη, τούς σέ ὑμνολογοῦντας.

Ὠδή θ΄. Ἐξέστη ἐπί τούτῳ.

Στερρῶς ἀντιταξάμενοι τῷ ἐχθρῷ, διά πλείστων καμάτων διήλθετε, νικητικῶς, καί εἰς βορβορώδη βόθρον ὁμοῦ, ριφέντες παναοίδιμοι, πρός τάς οὐρανίους διαμονάς, ἀνήλθετε ἐν δόξῃ, Χρύσανθε καί Δαρεία, θεαρχικῶς καταλαμπόμενοι.

Ἰσόψυχοι ἐν ἄθλοις καί συμφυεῖς, ὁραθέντες ἐν δόξῃ τῇ κρείττονι, ἰσοκλεεῖς, ὤφθητε περίδοξοι Ἀθληταί, Χρύσανθε μεγαλώνυμε, καί Δαρεία νύμφη Χριστοῦ σεμνή˙ καί νῦν ἐκδυσωπεῖτε, τόν πάντων Βασιλέα, δοῦναι ἡμῖν πταισμάτων ἄφεσιν.

Μαρτύρων συζυγία θεοειδής, ξυνωρίς θαυμαστή θεοτίμητε, ζεῦγος σεμνόν, Χρύσανθε τό ἄνθος τό χρυσαυγές, Δαρεία ἀξιύμνητε, σκεῦος τῆς ἁγνείας περικαλλές, ἁγνόν με συντηρεῖτε, ψυχῇ τε καί αἰσθήσει, καί λογισμῷ καί λόγῳ πάντοτε.

Οὐράνιον νυμφῶνα φωτοφανῆ, Ἀθλοφόροι πολεύοντες πάντοτε, καί τοῦ Χριστοῦ βλέποντες τό κάλλος τό θεαυγές, μετ᾽εὐμενείας δέξασθε, τόν μικρόν μου ὕμνον καί πενιχρόν, καί λύσιν τῶν κακῶν μου, Χρύσανθε καί Δαρεία, ὑμῶν πρεσβείαις πρυτανεύσατε.

Θεοτοκίον

Ὑπόθεσις καί ρίζα πάσης χαρᾶς, χαροπάροχε Κόρη πολύδοξε, ὤφθης ἡμῖν, τῆς ζωῆς τόν πρύτανιν Ἰησοῦν, σωματικῶς

www.tezaurliturgic.ro

κυήσασα, καί τήν λύπην παύσασα τοῦ Ἀδάμ· διό τήν τεθλιμμένην, καρδίαν μου Παρθένε, εὔφρανον θείᾳ παρακλήσει σου.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Δυάς Μαρτύρων σύμψυχε, καί ξυνωρίς πανθαύμαστε, Χρύσανθε χρυσέον ἄνθος, σύν τῇ πανσέμνῳ Δαρείᾳ, ἡμᾶς ἐνδυναμώσατε, πρεσβείαις ὑμῶν Ἅγιοι, ὅπως καλῶς ἀνύσωμεν, τό στάδιον τῆς νηστείας, ἐν ἔργοις δικαιοσύνης.

Θεοτοκίον.

Παρθένος ἀειπάρθενος, καί μήτηρ ἀδιάφθορος, ὑπερφυῶς σύ ὑπάρχεις, τόν Βασιλέα τῆς δόξης, τεκοῦσα Παναμώμητε· διό τά μεγαλεῖά σου, ὑμνοῦντες μεγαλύνομεν, καί σέ δοξάζομεν Κόρη, ὡς προστασίαν τοῦ κόσμου.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ' καί ψάλλομεν στιχηρά Προσόμοια.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Πανεύφημοι Μάρτυρες ὑμεῖς, συνημμένοι πνεύματι, ζεῦγος ὠράθητε ἅγιον, Χρύσανθε ἔνδοξε, καί σεμνή Δαρεία, τοῦ Χριστοῦ τοῖς ἴχνεσιν, ἑνί ἀκολουθοῦντες φρονήματι, ᾧ καί συνήφθητε, θεοφρόνως ἀριστεύσαντες, δι' αἰῶνος, συναγαλλιώμενοι.

Πανένδοξε Μάρτυς τοῦ Χριστοῦ, λόγῳ τῷ τῆς χάριτος, καταυγασθείς τήν διάνοιαν στερρῶς ἐνδέδυσαι, τοῦ φωτός τά ὅπλα, καί εἰς πάλην ἔδραμες, κατά τοῦ σκοτεινοῦ κοσμοκράτορος, ὅν καί κατέβαλες, καί τῆς νίκης τό διάδημα, ἐκομίσω, οὐρανόθεν Χρύσανθε.

Παρθένος ὑπάρχουσα σεμνή, παγκαλής καί ἄμωμος, Χριστῷ τῷ Λόγῳ νενύμφευσαι, χρυσέοις ρήμασιν, ἔνδοξε Δαρεία, Χρυσάνθου τοῦ μάκαρος· καί ἄμφω τόν ἀγῶνα τελέσαντες, πρός τά οὐράνια, λαμπαδοῦχοι ἐνηλάσατε, δι' αἰῶνος, συναγαλλιώμενοι.

Ποικίλας ἀθλήσαντες ποινάς, ἐπί τέλει Μάρτυρες, ἐν κατωτάτῳ ἐρρίφητε, λάκκῳ γηθόμενοι, καί πρός τόν νυμφῶνα, τῆς ζωῆς ἐδράμετε, θεούμενοι ἀεί κατά μέθεξιν, Χρύσανθε ἔνδοξε, καί Δαρεία παμμακάριστε, καί Κυρίῳ, ἡμᾶς οἰκειούμενοι.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. α'.

Ὦ μακαρία δυάς, ὤ θεοπόθητον ζεῦγος, Χρύσανθε καί Δαρεία, Ἀθληταί πολυύμνητοι, ὑμεῖς τήν κατά πνεῦμα ἕνωσιν, ἀδιάρρηκτον διεσώσατε, μέχρι θανάτου πρός τήν ἁμαρτίαν ἀντικαθιστάμενοι· οὐκ ἐφόβησαν ὑμᾶς, τῶν τυράννων αἱ ἀπειλαί, οὐκ ἐκάμφθητε οὐδόλως, ἐν τῇ τῶν πόνων ἐπιδόσει· ὄντως ἡ χάρις τοῦ θεοῦ, ἐν ὑμῖν ἐθαυμαστώθη. Ἀλλά μή παύσησθε δυσωπεῖν, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε ...

Δοξολογία μεγάλη

καί Ἀπόλυσις.

www.tezaurliturgic.ro




# Εἰς τὴν θείαν λειτουργίαν

Τά τυπικά,

οἱ Μακαρισμοί καί ἐκ τῶν κανόνων τῶν Ἁγίων

ἡ γ΄καί στ΄ᾠδή.

Ἀπόστολος τῆς 26ης Ὀκτωβρίου.

Εὐαγγέλιον κατά Λουκᾶν.

Εἶπεν ὁ Κύριος ... Προσέχετε ἀπό τῶν τῶν ἀνθρώπων ...

(Ζήτει ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγίου Γεωργίου).

Κοινωνικόν:

Εἰς μνημόσυνον αἰώνιον ...

Μεγαλυνάριον.

Σύμφρονες ὁμόζυγοι Ἀθληταί, οἱ τοῦ Ζωοδότου, πειθαρχήσαντες τῷ ζυγῷ, χαίρετε ἀπαύστως, Χρύσανθε καί Δαρεία, τῆς εὐαγοῦς ἁγνείας, τερπνά ἀλάβαστρα.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΠΡΟΗΓΙΑΣΜΕΝΗΝ

Ὁ Προοιμιακός,

τά Πρός Κύριον,

είς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι΄

καί ψάλλομεν τό Ἰδιόμελον τῆς ἡμέρας δίς,

τό Μαρτυρικόν,

τά 3 Προσόμοια τοῦ Τριῳδίου

καί τά ἑξῆς 4 τῶν Ἁγίων:

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἐμυήθης εὐσεβῶς, τό τῆς εὐσεβείας θεόφρον, μέγα μυστήριον, τότε ἔξω γέγονας σαρκός καί αἵματος, καί πατρός τήν ὠμότητα, ὡς οὐδέν ἡγήσω, πόθῳ κουφιζόμενος, τοῦ Ἀθλοθέτου σου· ὅθεν εὐκλεής στρατιώτης, τῆς ἐπουρανίου στρατείας, ἀνεδείχθης Χρύσανθε μακάριε.

Ὅτε ἐπειθάρχησε πιστῶς, ταῖς σαῖς ὑποθήκαις Δαρεία, ἡ καλλιπάρθενος, τότε ἡδυπάθειαν, πᾶσαν ἠρνήσατο, καί Χριστῷ ἠκολούθησε, καθαρᾷ ἐννοίᾳ, σύν σοί διαπρέπουσα, ἐνθέως Χρύσανθε· ὅθεν καί ἀθλήσαντες ἄμφω, πρός τάς ἀκηράτους παστάδας, ᾄδοντες Κυρίῳ μετετέθητε.

Ὅτε ἀπερρίφητε ὁμοῦ, βόθρον εἰς δυσώδη ἀδίκως, μεγαλομάρτυρες, πᾶσαν ἐβυθίσατε, ἐχθροῦ τήν δύναμιν, καί ὀσμῆς ἐπληρώθητε, τῆς ὑπερκοσμίου, δόξης καί λαμπρότητος, ἐν θείῳ Πνεύματι, Χρύσανθε σοφέ καί Δαρεία· ὅθεν δυσωδῶν παθημάτων, τούς ὑμᾶς γεραίροντας λυτρώσασθε.

www.tezaurliturgic.ro

Χαίροις συζυγία θαυμαστή, χαῖρε ξυνωρίς πανολβία, καί θεοδόξαστε, Χρύσανθε μακάριε, χρύσεον σκεῦος Χριστοῦ, καί Δαρεία θεόληπτε, οἱ τοῦ Ζωοδότου, τοῖς ἁγίοις στίγμασι, καλλωπιζόμενοι· ὅνπερ δυσωπεῖτε ἀπαύστως, δοῦναι ὀφλημάτων τήν λύσιν, τοῖς εἰλικρινῶς ὑμᾶς γεραίρουσι.

Δόξα. Ἦχος δ΄.

Τῆς εὐσεβείας τόν δόλιχον ἀνύσαντες, τῆς τιμίας ἀναρρήσεως, παρά Χριστοῦ ἠξιώθητε, Μάρτυρες ἔνδοξοι· συμφωνίᾳ γάρ γνώμης εὐδρομοῦντες, τῇ ἐν καινότητι ζωῇ ἐκλάμπετε, καί ἀθλητικοῖς ἀγῶσι, τήν πολιτείαν ὑμῶν ἐσφραγίσατε. Ἀλλ᾽ ὦ Χρύσανθε κλεινέ καί Δαρεία, Ἀγγελικαῖς συναγαλλόμενοι τάξεσι, τόν ἐλεήμονα θεόν ἡμῖν ἱλεώσασθε, ὅπως εὕρωμεν ἔλεος, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

**Καί νῦν. θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων ...

**Εἴσοδος μετά τοῦ Εὐαγγελίου,**

**τά Ἀναγνώσματα τοῦ Τριῳδίου,**

**τό Κατευθυνθήτω.**

**Ἀπόστολος καί Εὐαγγέλιον τῶν Ἁγίων κλπ.**

**Κοινωνικόν:** Εἰς μνημόσυνον ...

Δ ί σ τ ι χ ο ν

Δέχου ξυνωρίς Μαρτύρων τρισολβία

Ὅν ὑμῖν Γεράσιμος ὕφανεν ὕμνον.